**ἰαμβεῖον τετράμετρον καταληκτικόν**

Tzetz. in Aristoph. *nub.* arg. I (p. 367. 12 sqq. Holwerda) ὁ χορὸς δὲ ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, εἰς τὴν σκηνὴν ἑώρα· ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή, ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα· εἶτα τὴν ἀντίμετρον ἤγουν τὴν ἀντίστροφον προσᾴδοντες πάλιν τὰ τετράμετρα ἐπέλεγον, ἦν δὲ ἐπὶ πλεῖστον ις′. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα.

Schol. vet. in Aristoph. *nub.* arg. I (p. 1. 8 sqq. Holwerda) ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον ἀποδόντες πάλιν τετράμετρα ἐπέλεγον ἴσων στίχων· ἦν δὲ περὶ τὸ πλεῖστον ις΄.

Schol. vet. in Aristoph. *nub.* 1444a (p. 245. 14 sqq. Holwerda) τοῦθ’ ἕτερον αὖ μεῖζον] διπλῆ καῖ μέλος ἀμοιβαῖον, οὗ ἡ ἀρχὴ ‘τοῦθ’ ἕτερον αὖ μεῖζον’, τέλος δὲ (v. 1451) ‘καὶ τὸν λόγον τὸν ἥττω’. ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα <τὰ> μέσα τρία· καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν.

Schol. in Aristoph. *pac.* 500a β (p. 81. 17 sqq. Holwerda) Tr ὦ ’νδρες Μεγαρεῖς] ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων Ald η΄ καὶ ἐν εἰσθέσει ἕτερον ἀμοιβαῖον στίχων ὁμοίων καταληκτικῶν τετραμέτρων δ΄. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος LhAld.

Schol. in Aristoph. *pac.* 909a β (p. 138. 26 sqq. Holwerda) Tr ἐπὶ τῷ τέλει αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ τῆς ἀντιστροφῆς· τὰ γὰρ τετράμετρα τῶν ἰαμβείων (vv. 912 et 916) παραγράφῳ περατοῦται.

Schol. in Aristoph. *Thesm.* 547 (p. 268a. 25 sq. Dübner) τοῦτο μόνον τὸ τετράμετρον ἰαμβεῖον ἀνάπαιστον ἔχει τὸν καταλήγοντα. ἄξιον οὖν αὐτὸν τηρῆσαι.

[*G.M.*]